+ Μητροπολίτου Ὠρωποῦ καὶ Φυλῆς Κυπριανοῦ
Προέδρου τῆς Ἱερᾶς Συνόδου τῶν Ἐνισταμένων

# Ὁ Ἅγιος Μάρτυς Ἴσαυρος

## Ὑμνογραφικὰ

### Εἰσαγωγικὸ σημείωμα

**1.** Δημοσιεύουμε τὸ ἑξῆς ὑμνογραφικὸ ὑλικὸ ἀπὸ τὴν ἀτελῆ Ἀκολουθία τοῦ Ἁγίου Ἰσαύρου καὶ τῶν σὺν αὐτῷ:

**α) Στὸν Ἑσπερινό·**

- Προσόμοια τρία (Ἦχος δ΄. Ἔδωκας σημείωσιν).
  **(**Ἐκ τοῦ Μηναίου, Ἰουνίου ΙΖ΄. Εὑρίσκονται καὶ στοὺς Σαββαϊτικὸν καὶ Πατμιακὸν Κώδικες, βλ. κατωτέρω § 3**).**
- Προσόμοια ἕτερα δύο (Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν).
  **(**Ἐκ τοῦ Σαββαϊτικοῦ Κώδικος, βλ. κατωτέρω § 3**).**
- Ἀπολυτίκιον (Ἦχος δ΄. Ταχὺ προκατάλαβε).
  **(**Ἐκ τοῦ ἔργου **Φωτίου Γ. Οἰκονόμου,** *Ἁγιολόγιον πάντων τῶν ἐν Ἠπείρῳ Ἁγίων,* σελ. 38, Ἀθῆναι 1991**).**

**β) Στὸν Ὄρθρο·**

- Κανὼν (Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας, Ἀκροστιχὶς *«Ἴσαυρε Μάρτυς εὐμενὴς φάνηθί μοι»*, στὰ Θεοτοκία *«Γρηγορίου», «ἐλλείποντος τοῦ πρώτου Ρ, διὰ τῶν ᾨδῶν τὸ ὀκτάριθμον»*).
  **(**Ἐκ τοῦ Μηναίου, Ἰουνίου ΙΖ΄**).**
- Κάθισμα μεσῴδιον ἀπὸ γ΄ ᾨδῆς (Ἦχος γ΄. Θείας πίστεως).
  **(**Ἐκ τοῦ Μηναίου, Ἰουνίου ΙΖ΄**).**

**2.** Ἐπίσης δημοσιεύουμε καὶ ἕτερον Κανόνα τῶν Ἁγίων (Ἦχος πλ.δ΄. Τὸν Ἰσραὴλ ἐκ δουλείας, Ἀκροστιχὶς Θεοτοκίων *«Γεωργίου»*).

- Analecta Hymnica Graeca, XI, σελ. 120-126, 7 Iul., Canon XI, Roma 1978.

**3.** Ἔχει ἐπισημανθῆ σὲ δύο Κώδικες (Hierosol. Sab. 70, ff. 76v-78v. καὶ Patm. 806A, in die 20 iunii) καὶ τρίτος Κανὼν (Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου, Ἀκροστιχὶς *«Τὴν ἐξάφωτον μαρτύρων σέβω χάριν. Ἰωσήφ»*), τὸν ὁποῖον ἐκδίδουμε γιὰ πρώτη φορά, μὲ βάσι κυρίως τὸν Σαββαϊτικὸν Κώδ. 70.

• Βλ. **Α. Παπαδοπούλου-Κεραμέως**, *Ἱεροσολυμιτικὴ Βιβλιοθήκη,* τ. Β΄, σελ. 118 καὶ 124, ἔκδ. 1963· **Εὐτυχίου Ἰ. Τωμαδάκη**, *Ἰωσὴφ ὁ Ὑμνογράφος,* σελ. 170, ἐν Ἀθήναις 1971· **Ἑλένης Παπαηλιο-πούλου-Φωτοπούλου**, *Ταμεῖον Ἀνεκδότων Βυζαντινῶν ᾈσματικῶν Κανόνων,* σελ. 220, Ἀθῆναι 1996.

**4.** Ἡ προσεκτικὴ μελέτη τῶν τριῶν Κανόνων (*«Γρηγορίου», «Γεωργίου»* καὶ *«Ἰωσὴφ»*) θέτει μίαν ἀξιοσημείωτη προβληματολογία, τῆς ὁποίας ἀναφέρουμε πρὸς τὸ παρὸν μόνο τὰ τελικὰ συμπεράσματα:

**α.** Ὑπάρχουν δύο ὁμάδες Ἁγίων Μαρτύρων, ἀπὸ τὶς ὁποῖες ἡ μὲν πρώτη, μὲ ἐπὶ κεφαλῆς τὸν Ἅγιο Ἴσαυρο ἐξ Ἀθηνῶν, ἐμαρτύρησε στὴν Ἀπολλωνία τὴν πρὸς Ἐπίδαμνον/Δυρράχιον, ἡ δὲ δεύτερη, μὲ ἐπὶ κεφαλῆς τὸν Ἅγιο Περεγρῖνο ἐξ Ἰταλίας, ἐμαρτύρησε στὴν Ἐπίδαμνο/Δυρράχιο.

**β.** Παλαιότερα οἱ δύο αὐτὲς μαρτυρικὲς ὁμάδες ἑώρταζαν τὴν αὐτὴν ἡμέρα, δηλαδὴ τὴν 7ην Ἰουλίου, ἐνῶ σήμερα ἡ μὲν πρώτη (τῆς Ἀπολλωνίας) ἑορτάζει τὴν 17ην Ἰουνίου, ἡ δὲ δεύτερη (τοῦ Δυρραχίου) ἑορτάζει τὴν 7ην Ἰουλίου.

**γ.** • **Ὁ Κανὼν τοῦ *«Γρηγορίου»*** (Μηναίου), ἐνῶ ἀναφέρεται στὸν Ἅγιο Ἴσαυρο, τοῦ ἀποδίδει στοιχεῖα ποὺ ἀφοροῦν σαφῶς καὶ μόνο τοὺς Μάρτυρας τοῦ Δυρραχίου (Ἱ. Λείψανα, ἰάσεις, τάφος, πατρίς, ναός).

• **Ὁ Κανὼν τοῦ *«Γεωργίου»*** (A.H.G.) ἑνώνει τὶς δύο αὐτὲς μαρτυρικὲς ὁμάδες, διακρίνων ὅμως αὐτὲς ταυτοχρόνως, μέσῳ τῆς ἀναφορᾶς στοὺς ἐπὶ κεφαλῆς ἑκάστης: Ἴσαυρος (Ἀπολλωνίας), Περεγρῖνος (Δυρραχίου).

• **Ὁ Κανὼν τοῦ «Ἰωσὴφ»** (Σαββαϊτικὸ-Πατμιακὸ χργφ.) ἀναφέρεται σαφῶς στὴν ὁμάδα μόνο τοῦ Ἁγίου Ἰσαύρου.

**δ.** Ἡ λεπτομερὴς παρουσίασις τῶν ἐρωτημάτων, τὰ ὁποῖα ἐγείρουν οἱ τρεῖς αὐτοὶ Κανόνες, ὡς καὶ ἡ ταπεινή μας ἀπάντησις ἐπὶ τούτων, δὲν ἐμπίπτει στὰ ἄμεσα ἐνδιαφέροντα τῆς παρούσης ἐργασίας.

❑

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

**Ἦχος δ΄.**
**Ἔδωκας σημείωσιν.**

Πόνοις συντριβόμενοι, καὶ κακουχίαις στενούμενοι, καὶ εἱρκτῇ συγκλειόμενοι, ξίφεσι κοπτόμενοι, καὶ βιαιοτάτῳ, θνήσκοντες θανάτῳ, οὐκ ἀπηρνήσασθε Χριστόν, οὐ τοῖς ξοάνοις σέβας ἐνείματε· διὸ καὶ ἠξιώθητε, τῆς οὐρανίου λαμπρότητος, δυσωποῦντες τὸν Κύριον, ὑπὲρ πάντων μακάριοι.

Ἴσαυρος ὁ ἔνδοξος, καὶ ὁ στερρὸς Ἰννοκέντιος, καὶ ὁ θεῖος Βασίλειος, Φήλιξ ὁ θαυμάσιος, ὁ κλεινὸς Ἑρμείας, καὶ ὁ Περεγρῖνος, οἱ οὐρανώσαντες τὴν γῆν, ταῖς τῶν θαυμάτων θείαις λαπρότησι, πιστῶς μακαριζέσθωσαν, ὡς τοῦ Κυρίου θεράποντες, καὶ τὰ πάθη διώκοντες, τῶν ψυχῶν ἡμῶν πάντοτε.

Κρήνη ἀναβλύζουσα, τῶν ἰαμάτων χαρί-σματα, ἡ σορὸς ὑμῶν δέδεικται, ἐξ ἧς ἀρυόμεθα, τῶν παθῶν ὑγείαν, καὶ τῶν νοσημάτων, τὴν παντελῆ ἀπαλλαγήν, ἀνευφημοῦντες ὑμᾶς ἑκάστοτε, σεπτοὶ Μεγαλομάρτυρες, τῶν Ἀσωμάτων ἐφάμιλλοι, τοῦ Κυρίου θεράποντες, πρεσβευταὶ τῶν ψυχῶν ἡμῶν.

**Ἦχος δ΄.**
**Ὡς γενναῖον ἐν μάρτυσιν.**

Ὡς λυχνία ἐξάφωτος, θρυαλλίδι τοῦ Πνεύματος, τοῦ Κυρίου μάρτυρες μεγαλώνυμοι, τῆς οἰκουμένης τὰ πέρατα, σαφῶς καταυγάζετε, καὶ τὸ σκότος τὸ βαθύ, δυσσεβείας ἐλαύνετε, καὶ διώκετε, τῶν παθῶν τὸ ζοφῶδες, διὰ τοῦτο, τὴν φωσφόρον ὑμῶν μνήμην, περιφανῶς ἑορτάζομεν.

Σὺν Ἰσαύρῳ Βασίλειον, Περεγρῖνον καὶ Φήλικα, καὶ Ἑρμείαν ᾄσμασι μεγαλύνωμεν, καὶ σὺν αὐτοῖς Ἰννοκέντιον, ὁσίως δοξάσωμεν· καὶ θηρσὶ γὰρ καὶ πυρί, ἀνδρικῶς παρετάξαντο, καὶ μακάριον, ἀπηνέγκαντο τέλος· διὰ ξίφους, κεφαλὰς ἀποτμηθέντες, χοροῖς μαρτύρων συνήφθησαν.

**Ἀπολυτίκιον.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Ἑξάριθμον φάλαγγα, τῶν ἀθλοφόρων Χριστοῦ, ὑμνήσωμεν ᾄσμασιν, ἐν φιλεόρτοις πιστοί, τὸν πάνσοφον Ἴσαυρον, ἔνδοξόν τε Ἑρμείαν, καὶ Βασίλειον θεῖον, Ἰννοκέντιον Φήλικα, καὶ σεπτὸν Περεγρῖνον· αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·**
***«Ἴσαυρε Μάρτυς, εὐμενὴς φάνηθί μοι».***
**Ἐν δὲ τοῖς Θεοτοκίοις· *«Γρηγορίου»,***
**ἐλλείποντος τοῦ πρώτου Ρ, διὰ τῶν Ὠδῶν τὸ ὀκτάριθμον.**

**Ἦχος πλ.δ΄**
**Ὠδὴ α΄. Ὑγρὰν διοδεύσας.**

Ἱλέωσαι Μάρτυς τὸν εὐμενῆ, Θεὸν καὶ Σωτῆρα, ἐλεῆσαί με καὶ δεινῆς, ἐπηρείας μάκαρ ῥύσασθαί με, τὸν προσφυγόντα πιστῶς ἐν τῇ σκέπῃ σου.

Στενούμενος πταίσμασι χαλεποῖς, καὶ πλήθει κινδύνων, πιεζόμενος ἐκβοῶ· Ἴσαυρε θεόφρον πρόστηθί μου, τῆς συνεχούσης ἀνάγκης καὶ λύτρωσαι.

Ἀθλήσας νομίμως ὑπὲρ Χριστοῦ, ἀνύστακτος φύλαξ, ἐχαρίσθης πόλει τῇ σῇ· γενοῦ δὲ καὶ σκέπη καὶ προστάτης, τῶν προσφυγόντων σοι ἔνδοξε Ἴσαυρε.

**Θεοτοκίον.**

Γυμνὸν ἀρετῶν με καταστολῆς, εὑρὼν ὁ Βελίαρ, βέλει ἔτρωσεν ἡδονῶν· ἡ τὸν ἰατρὸν Θεὸν τεκοῦσα, τὰ τῆς ψυχῆς μου θεράπευσον τραύματα.

**Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.**

Ἄνωθεν τοῖς δούλοις σου, τὴν σὴν βοήθειαν δώρησαι, σῴζων ἡμᾶς πάσης ἐπηρείας, καὶ κινδύνων καὶ θλίψεων.

Ῥεῖθρα τῶν ἰάσεων, ἡ σὴ σορὸς ἀναβρύουσα, παντοδαπά, παύει τῶν ἀνθρώπων, ἀρρωστήματα Ἴσαυρε.

Τίμιος γεγένησαι, τὸ τοῦ Χριστοῦ τιμῶν ὄνομα· διὸ βοῶ· λύτρωσαί με πάσης, ἀτιμίας πρεσβείαις σου.

**Θεοτοκίον.**

Ἥνωται ὁ Κτίστης μου, ὑπερφυῶς ἐν σοὶ Δέσποινα, ὅλον ἐμέ, θέλων ἀναπλάσαι, διὰ σοῦ ὡς ηὐδόκησε.

**Κάθισμα. Ἦχος γ΄.**
**Θείας πίστεως.**

Θεῖον φρόνημα, ἀνειλημμένοι, ὢ ὑπέρμαχοι τοῦ Δυρραχίου, καὶ τοῦ Χριστοῦ ὁπλῖται στερρόψυχοι, Ἀπολλωνίου τὸ θράσος καθείλετε, καὶ Τριποντίου τὸ σέβας ᾐσχύνατε, νίκης ἔπαθλα, φαιδρῶς ἐκ Θεοῦ δεξάμενοι· δωρεῖσθε τοῖς πιστοῖς παθῶν ἰάματα.

### Θεοτοκίον.

Θεία γέγονας, σκηνὴ τοῦ Λόγου, μόνη πάναγνε, Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας ἐμὲ γοῦν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

### ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ὑψωθεὶς ἀπονοίᾳ μου, ὀλισθήσας πάθεσι κατενήνεγμαι· ἔγειρόν με κατακείμενον, ἐν βυθῷ θεόφρον ἀπογνώσεως.

Σὲ πανένδοξε κέκτημαι, ἀσφαλῆ φρουρόν μου καὶ καταφύγιον· πρόστηθί μου· μὴ παρίδῃς με, ἐν ἡμέρᾳ θλίψεως καὶ σῶσόν με.

Ἐν ὀδύνῃ καρδίας μου, τὸν ἐμὸν προστάτην σὲ τὸν θερμότατον, δυσωπῶ· Μὴ καταλίπῃς με, ἐχθρῶν ἐπηρείαις ἀπολλύμενον.

### Θεοτοκίον.

Γηγενῶν ἀκαταίσχυντε, σκέπη καὶ βοήθεια σύ μου πρόστηθι, καὶ παντοίας με ἐξάρπασον, συμφορᾶς Παρθένε τὸν ἱκέτην σου.

### ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Υἱὸς ὤφθης ἡμέρας, ἔχων ἐν καρδίᾳ σου λάμπον φῶς ἄδυτον, δι᾽ οὗ σκοτομήνῃ, τῆς ἀπάτης μειοῦται καὶ ἅπασι, δᾳδουχεῖται γνῶσις, θείου φωτός· διὸ βοῶ σοι· Φώτισόν με τὸν γνώμῃ τυφλώττοντα.

Μὴ παρίδῃς με Μάρτυς, πίστει σοι προστρέχοντα, μηδὲ ἀπώσῃ με· γλώσσῃ γὰρ δολίᾳ, κατ᾽ ἐμοῦ οἱ μισοῦντές με φθέγγονται, πολεμοῦντες μάτην, τοῦ ἀπολέσαι τὸν σὸν δοῦλον· ἀλλὰ πρόφθασον σῶσόν με Ἅγιε.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ, σὲ ἐπικαλοῦμαι τὸν μέγαν προστάτην μου, ἐν παντί με τόπῳ καὶ καιρῷ διαφύλαξον Ἅγιε, ἀπὸ πάσης βλάβης, καὶ ἐπηρείας ἐναντίων, τὸν εἰς σὲ τὴν ἐλπίδα μου θέμενον.

### Θεοτοκίον.

Ὅλον ἐμὲ μορφοῦται, ἐκ σοῦ Ἀπειρόγαμε Θεὸς ὁ πλάστης μου· ὅν ἀεὶ δυσώπει, οἰκτιρῆσαι λαὸν ἁμαρτάνοντα, διασῶσαι κόσμον, δαιμονικῆς ἁπάσης βλάβης, τὸν εἰς σὲ Θεοτόκε ἐλπίζοντα.

### ᾨδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ.

Νοός μου τὰς ἐκτροπὰς θεραπεύσας, καὶ καρδίας μου τὰ πάθη θεόφρον, σωματικῶν ἀλγηδόνων με ῥῦσαι, καὶ ἐπηρείας ἁπάσης καὶ θλίψεως, καὶ δεῖξόν με ταῖς σαῖς λιταῖς, τοῦ ἐχθροῦ τῶν παγίδων ὑπέρτερον.

Ἡγίασέ σε ἀθλήσαντα Μάρτυς, ὁ πανάγιος Θεός· ὅν δυσώπει, ἁγιασμὸν τοῖς σοῖς δούλοις ἐκπέμψαι, καὶ φωτισμὸν καὶ πταισμάτων τὴν λύτρωσιν· προστάτης γὰρ παρὰ Θεοῦ, ἐχαρίσθης ἡμῖν ἀκαταίσχυντος.

Συνεῖναί με τὸν πολλὰ σε ποθοῦντα, πολυπόθητε εὐδόκησον Μάρτυς, σὲ δυσωπῶ, τὸν καλόν μου προστάτην, καὶ πίστει κράζω σοι ἅγιε Ἴσαυρε· Γενήθητί μοι βοηθός, καὶ παντοίας ἀνάγκης με λύτρωσαι.

**Θεοτοκίον.**

Ῥανίσι τῆς σωστικῆς σου πρεσβείας, κατασβέσασα παθῶν μου τὴν φλόγα, τὰς τοῦ νοός, ἐκτροπὰς σαῖς πρεσβείαις, ὑπεραγία Παρθένε θεράπευσον, καὶ κόπασον τὸ χαλεπόν, τῶν παθῶν μου κλυδώνιον πάναγνε.

**Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.**

Φωτὶ ἀστραπτόμενος, τῷ τρισηλίῳ ἔνδοξε Ἴσαυρε, Ἰννοκέντιε θεῖε, Φήλιξ Ἑρμεία καὶ Περεγρῖνε σοφέ, σὺν Βασιλείῳ θαυμάτων λαμπρότησι, καταφωτίσατε τοὺς εὐφημοῦντας ἡμᾶς.

Ἀστέρες πολύφωτοι, ζόφον τῆς πλάνης μειοῦντες ὤφθητε, ἀθλοφόροι Κυρίου· διὸ ψυχήν μου γνώμῃ τυφλώττουσαν, θεογνωσίας φωτὶ καταλάμψατε, τῆς ἀγνωσίας ἀχλὺν ἀποδιώκοντες.

Νοσοῦσαν ἀνίατα, τὴν ταπεινήν μου ψυχὴν ἰάσασθε, τὰ τοῦ σώματος πάθη, Μάρτυρες θεῖοι ἐξαφανίσατε, ὦ Περεγρῖνε Ἴσαυρε Βασίλειε, Φῆλιξ Ἑρμεία κλεινὲ καὶ Ἰννοκέντιε.

**Θεοτοκίον.**

Ἰσχύς μου καὶ ὕμνησις, καὶ σωτηρία Χριστὸς ὁ Κύριος, ὁ ἐκ σοῦ ἀνατείλας, Παρθενομῆτορ διὰ χρηστότητα, ἐκ τῆς ἀρχαίας ἡμᾶς λυτρωσάμενος, προγονικῆς ἀπειλῆς καὶ ἀποφάσεως.

**Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.**

Ἠγλαϊσμένος κάλλεσι, μαρτυρίου θεόληπτε, καὶ κεκοσμημένος τοῖς ἐξ ἄθλων στίγμασι, πορφύραν ἐξ αἵματος, ἐνδεδυμένος τῆς σῆς σφαγῆς, καὶ ἱερωσύνης καλλυνόμενος δόξῃ, παρέστης τῷ Κυρίῳ· ὅν ἀεὶ ἐκδυσώπει, κοσμῆσαι σωτηρίῳ, ἡμᾶς περιβολαίῳ.

Θανατωθεὶς ὁ δείλαιος, ἡδονῶν τῷ ἐκπτώματι, ἔρριμμαι εἰς γῆν, θέαμα θρήνων ἄξιον· πανένδοξε Ἴσαυρε, νῦν ἐπ᾽ ἐμὲ ἐπίβλεψον· δεῖξον ἐν ἐμοί, τὴν τῶν θαυμάτων σου χάριν· βροτῶν ἰδέτω γένος, ὅτι σύ μου προστάτης, καὶ σῴζεις ἐκ θανάτου, τοὺς σοὺς ἀχρείους δούλους.

Ἱερωσύνῃ πρότερον, κοσμηθεὶς Ἱερώτατε, καὶ διακονήσας, εὐλαβῶς εἰς ὕστερον, αὐθαίρετον γέγονας, σὺ ἱερεῖον ἄμωμον, ἱερουργηθείς, Χριστῷ διὰ μαρτυρίου· διὸ κἀμοῦ τὸν ὕμνον, ὡς θυμίαμα Μάρτυς, προσκόμισον τῷ Κτίστῃ, καὶ σῶσόν με λιταῖς σου.

**Θεοτοκίον.**

Ὁ τῶν φωστήρων κάλλεσιν, οὐρανὸν καλλωπίσας Θεός, ἄλλον οὐρανόν σε, Θεοτόκε ἔδειξεν· ἐκ σοῦ γὰρ ὡς ἥλιος, ἐξανατείλας πᾶσαν τὴν γῆν, τῆς θεογνωσίας, κατελάμπρυνε φέγγει· διὸ οὐδεὶς προστρέχων, ἐν σοὶ κατῃσχυμμένος, πορεύεται τῶν θείων, μὴ τυχὼν δωρεῶν σου.

**Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.**

Μεγάλων χαρισμάτων ἀξιωθείς, ἐκ Θεοῦ παναοίδιμε Ἴσαυρε, ἀποσοβεῖς, δαίμονας καὶ νόσους παντοδαπάς, καὶ πειρασμοὺς καὶ θάνατον, πᾶσι τὰ αἰτήματα χορηγῶν· διὸ κἀμοὶ παράσχου, εἰρήνην καὶ ὑγείαν, καὶ τῶν πταισμάτων ἀπολύτρωσιν.

Ὁ θεῖος καὶ σεβάσμιός σου ναός, τὸ πολύτιμον ἅγιον σῶμά σου, ὡς θησαυρὸν ἔχων ἀναφαίρετον τοὺς πιστούς, καταπλουτίζει πάντοτε, ταῖς τῶν χαρισμάτων διανομαῖς· διὸ κἀγὼ τῶν θείων, τύχοιμι δωρεῶν σου, ὁ προσφυγὼν τῷ θείῳ τάφῳ σου.

Ἰδοὺ Μάρτυς Κυρίου καλῶς καμών, τὸν μισθὸν ἐκομίσω τῶν πόνων σου. Πρόστηθι οὖν, πάντοτε Θεόφρον τοῦ σοῦ λαοῦ, τὴν σὴν πατρίδα φύλαττε, σῷζε τοὺς προστρέχοντάς σοι πιστῶς, καὶ βράβευσον εἰρήνην, πάσῃ τῇ οἰκουμένῃ, κἀμοῦ τοῦ σοῦ οἰκέτου μέμνησο.

**Θεοτοκίον.**

Ὑπέρφωτε νεφέλη Μήτηρ Θεοῦ, τοὺς ἡμῖν πολεμοῦντας πολέμησον, τῇ κραταιᾷ καὶ παντοδυνάμῳ σου δεξιᾷ· τῶν ἐν ἀνάγκαις πρόστηθι· τῶν ἀδικουμένων ἀντιλαβοῦ, πταισμάτων λυτρουμένη, ταῖς σαῖς ἱκετηρίαις· ὅσα γὰρ θέλεις πάντα δύνασαι.

## Κανὼν δεύτερος

**Οὗ ἡ Ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις· *«Γεωργίου»*.**

**Ἦχος πλ.δ΄.**

**ᾨδὴ α΄. Τὸν Ἰσραὴλ ἐκ δουλείας.**

Οἱ νοουμένοις φωστῆρσιν, τοῖς ἁγίοις μάρτυσιν, τὴν ἐκκλησίαν, Κύριε, καταλάμπων, φώτισον ἡμᾶς ταῖς ἱκεσίαις αὐτῶν.

Διακονῶν μυστηρίοις ἀπορρήτοις, Ἴσαυρε, σεαυτὸν προσενήνοχας προσφορὰν εὐπρόσδεκτον δι᾽ αἵματος Χριστῷ τῷ Θεῷ.

Ξένην ὁδὸν Περεγρῖνος φερωνύμως ἤθλησε μετὰ τῶν συναθλούντων αὐτῷ καὶ δι᾽ ἀθλήσεως πρὸς οὐρανὸν κατέπαυσεν.

**Θεοτοκίον.**

Γαλήνης θείας τυχόντες Θεοῦ ἐπιγνώσεως, δι᾽ αὐτοῦ, Θεόνυμφε, ἀθεΐας κλύδωνα αἰσίως ἐξεκλίναμεν.

**ᾨδὴ γ΄. Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος.**

Τῷ φέγγει οἱ ἅγιοι ἐλλαμπόμενοι τῆς Χριστοῦ ἐπιγνώσεως, τὸ σκότος ἐφύγετε τῆς εἰδωλομανίας· διὸ καὶ ἐδείχθητε φωστῆρες ἐν τοῖς πέρασιν.

Τοῖς ὄμβροις τῶν λόγων σου τοὺς συμ-μάρτυρας καταρδεύων, ἀοίδιμε, εἰς ὕψος ἀνέδωκας εὐσεβείας, Ἴσαυρε, Χριστῷ τελειότητα ἀθλήσεως προσάγοντας.

**Θεοτοκίον.**

Εἰς ὕψος τῆς γνώσεως τοῦ τῶν ὅλων Θεοῦ ἀναβάντες τῷ τόκῳ σου, χαμαίζηλον, Ἄχραντε, κατελίπομεν πλάνην, καὶ σὲ Θεομήτορα ὑμνοῦμεν καὶ δοξάζομεν.

**ᾨδὴ δ΄. Ἐξ ὄρους κατασκίου, Λόγε, ὁ προφήτης.**

Ἐν βάθει νοητῷ τῆς γνώσεως τοῦ κτίστου ἐγκύψας, τῶν αὐτοῦ ἐδείχθης μυστηρίων μύστης καὶ κῆρυξ, ἀοίδιμε, κατ᾽ ἀξίαν δια-κονῶν τούτοις ἐν πνεύματι.

Στῦλοι ἀρραγεῖς τῆς πίστεως τοῦ κτίστου ὄντες, Ἀθληταί, ἀσάλευτοι, ἀθέων ταῖς τρικυμίαις ἐμείνατε, ἀνυμνοῦντες Χριστὸν τὸν μόνον στερεοῦντα ἡμᾶς.

Πρεσβείαις τῶν Ἁγίων, Λόγε, ἀθλοφόρων μετόχους καὶ ἡμᾶς τῆς τούτων, ὡς οἰκτίρμων, δόξης καὶ χάριτος ποίησον ἀνυμνοῦντας τὴν ὑπὲρ ἔννοιάν σου σάρκωσιν.

**Θεοτοκίον.**

Ὤφθης νοητὴ ἀνθρώποις, Θεοτόκε, κλῖμαξ ἀπὸ γῆς ἐπαίρουσα πρὸς ὕψος τῶν οὐρανῶν τοὺς δοξάζοντάς σε κυρίως μόνην Ἁγνὴν καὶ Θεομήτορα.

**ᾨδὴ ε΄. Ὁ ἐκ νυκτὸς ἀγνοίας.**

Ὁ ἐν νυκτὶ τῆς πλάνης ὑπερφαεῖς ἀναδείξας, Χριστὲ ὁ Θεός, τοὺς ἁγίους μάρτυρας φώτισον ἡμᾶς ταῖς πρεσβείαις αὐτῶν.

Ὁ ποταμοὺς θαυμάτων τοὺς ἀθλοφόρους σου δείξας, Χριστὲ ὁ Θεός, ἄρδευσον ἰάμασιν ὡς νάμασιν ἡμᾶς ταῖς πρεσβείαις αὐτῶν.

Ὁ κραταιὰ ὁπλίσας τοὺς ἀθλοφόρους, Χριστὲ ὁ Θεὸς ἡμῶν, νοητῶν κατάβαλε ἐχθρῶν καὶ ὁρωμένων φρυάγματα.

**Θεοτοκίον.**

Ῥώμην τὴν σήν, Παρθένε, πανσθενεστάτην ἐν πίστει ζωννύμενοι, πολεμίων φάλαγγας τροπούμεθα αἰνοῦντες τὸν τόκον σου.

**ᾨδὴ ς΄. Χιτῶνά μοι παράσχου φωτεινόν.**

Στολὴν τὴν ἱερὰν ἀθλητικοῖς κοσμήσαντες αἵμασιν, ἀήττητοι μάρτυρες, τοῦ Χριστοῦ τοῖς μυστηρίοις ὑπουργήσατε.

Τὸν γνόφον διαβὰς τὸν αἰσθητόν, ἀΰλῳ ὡμίλησας φωτί, μάρτυς Ἴσαυρε, καὶ ἀκτῖσι κατελλάμφθης ταῖς τῆς χάριτος.

Βασάνων τρικυμίαις, ἀθληταί, ὁσίως ἐκκλίναντες, εἰς θείους ὡρμίσθητε καταπαύσεως λιμένας ἀϊδίου ζωῆς.

**Θεοτοκίον.**

Γαλήνην ἐν πελάγει πειρασμῶν ἔχοντές σε, Δέσποινα, αἰσίως εἰς εὔδιον καταπαύομεν λιμένα εὐθυμίας ἀεί.

**ᾨδὴ ζ΄. Ὁ ἐν ἀρχῇ τὴν γῆν θεμελιώσας.**

Ταῖς ἀστραπαῖς, ἀθλοφόροι, τῶν λόγων τὰς τῶν ἐχθρῶν ἠμαυρώσατε κόρας, φωστῆρες θεῖοι διὸ ἀνθρώποις ἀνεδείχθητε πιστοῖς ὑμνολογοῦσι Χριστόν.

Στῦλος πυρός, Ἴσαυρε, τοῖς συνάθλοις ἀναδειχθείς, σὺν Περεγρίνῳ τούτους εἰς φῶς τὸ θεῖον τοῦ μαρτυρίου ὡδηγήσατε ὑμνοῦντες τὸν τῶν ὅλων Θεόν.

Τῇ νοητῇ βακτηρίᾳ τῶν λόγων τοὺς ἀπειθεῖς ἀπεσόβησας θῆρας ἐκ τῶν συνάθλων, καὶ ἀλωβήτους διετήρησας τούτους Κυρίῳ, Ἴσαυρε.

**Θεοτοκίον.**

Ἰδεῖν τοῦ σοῦ, Θεοτόκε Παρθένε, δόξαν Υἱοῦ τοὺς πιστῶς σε ὑμνοῦντας καὶ ἀπολαῦσαι ταύτης δυσώπει· αὐτὸς γάρ ἐστιν ἡ δόξα τῶν ὑμνούντων σε.

**Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.**

Τῶν παρόντων τῆς σχέσεως ῥαγέντες, ἀθλοφόροι, συνήφθητε ταῖς ἄνω διὰ στερρᾶς ἀθλήσεως κραυγάζοντες· «Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας».

Τῆς γλυκείας ἀγάπης γεγευμένοι τοῦ Δεσπότου, τὰ πικρά, ἀθλοφόροι, τῆς ἀθεΐας νάμασιν ἐφύγετε, Κύριον ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.

**Θεοτοκίον.**

Ὁ φθαρεῖσαν τὴν φύσιν τῶν ἀνθρώπων νεουργήσας διὰ σοῦ, Θεοτόκε, ἡμᾶς ἀεὶ καινίζει ταῖς πρεσβείαις σου, τοῦτον ἀνυμνοῦντας καὶ δοξολογοῦντας εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ θ΄. Μεγαλύνομέν σε.**

Μυστικοῦ κρατῆρος τοῦ Κυρίου ὡς γευσάμενος, Ἴσαυρε, τὸ τούτου ποτήριον τοῦ πάθους ἐξέπιες.

Νοητὸν πρὸς ὕψος τὸ τῆς γνώσεως Χριστοῦ ἀναβάντες, σοφοί, τὴν ὄντως χαμαίζηλον πλάνην κατελίπατε.

Ταῖς πρεσβείαις, Λόγε, τῶν ἁγίων ἀθλοφόρων καταύγασον καὶ ἡμᾶς δοξάζοντας φῶς σε τὸ ἀπρόσιτον.

**Θεοτοκίον.**

Ὑπερβλύζει ἀεὶ ὁ κρατὴρ τῶν σῶν θαυμάτων, Πανάχραντε, καὶ ἀρδεύει ἅπαντας τοὺς σὲ μεγαλύνοντας.

## Κανὼν τρίτος

**Οὗ ἡ Ἀκροστιχίς· *«Τὴν ἐξάφωτον μαρτύρων σέβω χάριν. Ἰωσήφ».***
**Ἦχος δ΄.**

**Ὠδὴ α΄. Ἀνοίξω τὸ στόμα μου.**

Ταῖς θείαις λαμπρότησι, τῆς τρισαρίθμου Θεότητος, ἐξάριθμοι μάρτυρες καταυγαζόμενοι, τὴν ὑπέρλαμπρον, καὶ θείαν ὑμῶν μνήμην, τοὺς πανηγυρίζοντας πίστει φωτίσατε.

Ἠνθήσατε μάρτυρες, ἐν ταῖς κοιλάσι τῆς Χάριτος, ὡς ῥόδα καὶ ἅπαντας εὐωδιάζετε, ὀσμαῖς γνώσεως, ἐνθέου τὸ δυσῶδες, τῆς πλάνης διώκοντες θεομακάριστοι.

Νομίμως ἀθλήσαντες, πάντας ἀνόμους ἐτρέψατε, ὡς ἔννομοι μάρτυρες τοῦ Παντοκράτορος, Φῆλιξ ἔνδοξε, Ἑρμεία, Περεγρῖνε, Ἴσαυρε, Βασίλειε καὶ Ἰννοκέντιε.

**Θεοτοκίον.**

Ἐκ Σοῦ ἡμῖν ἔλαμψε, δικαιοσύνης ὁ ἥλιος, Πανάμωμε Δέσποινα, ᾯ συνεξέλαμψεν, ἡ ἐξάριθμος, μαρτύρων φωταυγεία, τὰ νέφη διώκουσα τῶν καρδιῶν ἡμῶν.

**Ὠδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους Θεοτόκε.**

Ξένως εἰς οἰκεῖα τὸν ἐλθόντα, μιμούμενοι ξένην ἀθληταί, ἐνεγκαμένην εἵλεσθε, τὴν πλάνην ἀποφεύγοντες, καὶ διὰ πόνον σώματος, τῷ Λυτρωτῇ οἰκειούμενοι.

Ἄντρον πρὸς βραχὺ ὑμᾶς συγκρύπτει, Χριστὸς φανεροῖ δὲ ἐμφανῶς, αὐτὸν ἀνακηρύττοντας, εἰς φωτισμὸν καὶ λύτρωσιν, τῶν καθορώντων Ἅγιοι, ὑμῶν τὰ θεῖα παλαίσματα.

Φῶς ἀναλαβὼν ἱερωσύνης, ὁ μέγιστος Ἴσαυρος φωτί, τῷ ταύτης προσελάβετο, φῶς μαρτυρίου ἄσβεστον, ταῖς τῶν θαυμάτων λάμψεσι, πάντας φωτίζων ἑκάστοτε.

**Θεοτοκίον.**

Ὡραῖος ἐν κάλλει ἀσυγκρίτῳ, ἐκ Σοῦ τῆς ὡραίας καὶ καλῆς, ἐν γυναιξὶ σεσάρκωται, ὁ Ποιητὴς πανάμωμε, οὗ τῇ στοργῇ οἱ μάρτυρες, καλῶς ἀθλοῦντες ἐστέφθησαν.

### Ὠδὴ δʹ. Τὴν ἀνεξιχνίαστον.

Τὴν ἀπαρασάλευτον παραλαβεῖν, ὄντως βασιλείαν ποθήσαντες, τοῦ παρανόμου βασιλέως τοὺς θεσμούς, καταπατῆσαι εἵλεσθε, μάρτυρες Χριστοῦ μεγαλώνυμοι.

Ὄλβιοι γενόμενοι ταῖς θεϊκαῖς χάρισιν, ἐλίπετε πρόσκαιρον ὄλβον, σπουδαίως καὶ πλουτοῦντες ἐμφανῶς, τὴν μαρτύρων εὔκλειαν, θαύμασι τὸν κόσμον πλουτίζετε.

Νύκτα παροδεύσαντες εἰδωλικήν, Ἴσαυρος, Ἑρμείας, Βασίλειος, καὶ Περεγρῖνος, Ἰννοκέντιος ὁμοῦ, Φῆλιξ ὁ θαυμάσιος, φῶς πρὸς νοητὸν μετηνέχθησαν.

### Θεοτοκίον.

Μήτραν παρθενεύουσαν καθυποδύς, Λόγος τὰ σύμπαντα νεύματι, δημιουργήσας ἐσαρκώθη, καὶ χορὸν μαρτυρικὸν λαμπόμενον, τούτου φρυκτωρίαις προσήκατο.

### Ὠδὴ εʹ. Ἐξέστη τὰ σύμπαντα.

Ἁγίων λαμπρότησιν, οἰκεῖν κατηξιώθητε, σώματα λαμπάσι φλογισθέντες, Ἴσαυρε μάκαρ καὶ Ἰννοκέντιε, ἅμα Βασιλείῳ τῷ κλεινῷ, οὓς ὡς μεγαλόφρονας νῦν γεραίρομεν μάρτυρας.

Ῥομφαίαν διήλθετε, τὴν στρεφομένην ἅγιοι, κατευλαβηθεῖσαν ὑμῶν πάθος, σωτηριῶδες ὅπερ ὑπέστητε, ὑπὲρ τοῦ παθόντος δι᾽ ἡμᾶς· ὅθεν μακαρίζομεν τὴν ὑμῶν γενναιότητα.

Τίμιοι πανεύφημοι, ὡς λίθοι κυλιόμενοι, πᾶσαν κατεστρέψατε τοῦ πλάνου, οἰκοδομίαν καὶ ἀναστήσαντες, οἴκους ἑαυτοὺς περικαλλεῖς, Πνεύματος ἐν χάριτι διὰ τοῦτο δοξάζεσθε.

### Θεοτοκίον.

Ὑπάρχουσα Δέσποινα, τῶν ποιημάτων ἄχραντε, ὡς τὸν ποιητὴν τούτων τεκοῦσα, ἐπικρατείας παθῶν με λύτρωσαι, τὸν ἀμαυρωθέντα τῇ ψυχῇ, δειναῖς παραβάσεσι καὶ δεινῶς ἀπολλύμενον.

### Ὠδὴ ϛʹ. Τὴν θείαν ταύτην.

Ῥοαῖς αἱμάτων ἐπνίξατε, ἀσάρκους δυσμενεῖς θείᾳ χάριτι, καὶ στολισάμενοι, θείαν πορφύραν μετέβητε, πρὸς νοητὰς ἐπαύλεις ὡς μεγαλώνυμοι.

Ὡς ναῦν τὴν πίστιν εὑράμενοι, Θεοῦ τῇ κυβερνήσει διέπλευσαν, πλάνης τὸ πέλαγος, καὶ πρὸς λιμένας κατήχθησαν, τοὺς νοητοὺς οἱ θεῖοι χαίροντες μάρτυρες.

Ναοὶ Τριάδος γενόμενοι, ναὸν ὑμῶν ἐν ᾧ κατετέθητε, πηγὴν ἐργάζεσθε, θείων ἰάσεων πλύνοντες, πολυειδεῖς κηλῖδας παθῶν μακάριοι.

**Θεοτοκίον.**

Σὲ μόνην ἔχω βοήθειαν, καὶ σὲ ἐπικαλοῦμαι ἑκάστοτε, ἁγία Δέσποινα, ἐχθροῦ παγίδων με λύτρωσαι, καὶ κοσμικῶν σκανδάλων ἵνα δοξάζω σε.

**ᾨδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.**

Ἐνεβλήθητε θηρσὶν εἰς βρῶσιν ἅγιοι, θείᾳ δὲ χάριτι, ἄτρωτοι καὶ ἀσινεῖς, ἐμείνατε ψάλλοντες ἐν ὁμονοίᾳ Θεῷ· ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Βασανίζετε πληθὺν δαιμόνων ἅγιοι, ὡς ὑπομείναντες, βασάνους διὰ Χριστόν, καὶ πάθεσι πάντοτε τοὺς θαλαττεύοντας, διασώζετε, ἀναβοῶντας· Κύριε ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὡς μακάριοι ἀμώμως ἐπορεύθητε, τοῦ μαρτυρίου ὁδόν, λαμπάσι δὲ τὰς πλευράς, εὐτόνως πυρούμενοι ἄφλεκτοι ὤφθητε, Ἰννοκέντιε, Ἴσαυρε καὶ Βασίλειε ἱεροὶ Χριστοῦ ὁπλῖται.

**Θεοτοκίον.**

Χαῖρε μόνη τὴν χαρὰν ἀποκυήσασα, Χριστὸν πανάμωμε, χαῖρε πιστῶν ἡ ἐλπίς, μαρτύρων κραταίωμα καὶ περιτείχισμα· χαῖρε Δέσποινα, δι᾽ ἧς δεσμῶν ἐλύθημεν τῆς ἀρχαίας καταδίκης.

**ᾨδὴ η΄. Παῖδας εὐαγεῖς.**

Ἀνένδοτον δρόμον ἠνυκότες, σεπτῆς μαρτυρίας θείῳ Πνεύματι, πάσας τοῦ ἀλάστορος, ὄντως ἐστομώσατε, ὁδοὺς καὶ τρίβους ἔνδοξοι, καὶ πρὸς εὐρύχωρον ἐφθάσατε, γηθόμενοι τόπον, ἀνυμνολογοῦντες Χριστὸν εἰς τοὺς αἰῶνας.

Ῥημάτων ὑμῶν τρωθεὶς ῥομφαίᾳ, εἰς τέλος ὁ τύραννος ἀπώλετο, ὅθεν ἀπεφήνατο, ξίφεσι μακάριοι, θανατωθῆναι ἅπαντας, ὑμᾶς τοὺς κραυγάζοντας, τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἰάσεων βλύζετε πελάγη, ἐκβλύσεις ἀρρωστημάτων ἀποπαύοντες, Ἴσαυρε πολύαθλε, Φῆλιξ μεγαλώνυμε, Βασίλειε πανεύφημε καὶ Ἰννοκέντιε, Ἑρμεία καὶ σοφὲ Περεγρῖνε, μέγιστοι λαμπτῆρες τῆς δύσεως ἁπάσης.

### Θεοτοκίον.

Νοϊ καὶ ψυχῇ Σε καὶ καρδίᾳ, ἁγνὴν Θεοτόκον καταγγέλομεν, ἄχραντε πανύμνητε, σθένος καὶ κραταίωμα, τῶν ἀθλητῶν τὸ καύχημα, τῶν μελῳδούντων θερμῶς, τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

### ᾨδὴ θ΄. Ἅπας γηγενής.

Ἴχνεσι Χριστοῦ, κατακολουθήσαντες τοῦ πρωτομάρτυρος, μάρτυρες ἐσπείσατε ὑμῶν τὸ αἷμα, ὑπὲρ αὐτοῦ εὐκλεῶς, καὶ πρὸς ζωὴν μετέστητε θανατωθέντες δεινῶς· ὅθεν χάριν, ζῶσαν ἀναβλύζετε, τὰ νεκροῦντα ἡμᾶς πάθη παύοντες.

Ὤφθητε πυρσοί, πελάγει τῶν θλίψεων τοὺς θαλαττεύοντας, ὅρμον πρὸς ἀκύμαντον στεφανηφόροι, προσεκκαλούμενοι, καὶ πειρασμῶν ἐξαίροντες καὶ περιστάσεων, καὶ σωτῆρες χάριτι δεικνύμενοι, τῶν πιστῶν ἀθληταὶ παμμακάριστοι.

Στῶμεν εὐσεβῶς, ἐν οἴκῳ Θεοῦ ἡμῶν καὶ μακαρίσωμεν, Ἴσαυρον τὸν ἔνδοξον Ἑρμείαν, ἅμα καὶ Ἰννοκέντιον, σὺν Περεγρίνῳ Φήλικά τε καὶ Βασίλειον, τοὺς λαμπτῆρας τοὺς καταφωτίζοντας, τὰ τῆς γῆς ἀενάως πληρώματα.

Ηὔγασε Χριστός, ἡμέραν σωτήριον ὑμῖν πανεύφημοι, νύκτα παριππεύσασι τῆς ἀθεΐας, νοὸς στερρότητι· ὅθεν ὕμνοις τὴν πάμφωτον μνήμην γεραίρομεν, φρυκτωρίαις πάντοτε λαμπόμενοι, εὐπροσδέκτων ὑμῶν παρακλήσεων.

### Θεοτοκίον.

Φώτισον Ἁγνή, ψυχήν μου τυφλώττουσαν ταῖς παραβάσεσιν· ἔγειρόν με κείμενον τῆς ῥαθυμίας, κλίνῃ καὶ στένοντα· τῶν μενουσῶν με λύτρωσαι ἐκεῖ κολάσεων· τὴν ζωήν μου δέομαι κυβέρνησον, μετανοίας μοι τρόπους δεικνύουσα.